LICEO CLASSICO
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

## VII edizione

**10 aprile 2015**

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

### I SEZIONE (IV Ginnasio)

**Una statua bronzea di Orfeo sulle pendici dell'Elicona**

*Il genere dell'ἔκφρασις, aperto a suggestivi interscambi con le arti figurative, percorre tutta la storia della letteratura greca dalle origini – lo scudo di Achille nel libro 18 dell'*Iliade *– fino all'età bizantina – la descrizione della basilica costantinopolitana di Santa Sofia nei versi di Paolo Silenziario. Al III o IV secolo d. C. risalgono le descrizioni di statue del retore Callistrato, quasi un tributo ad una mitologia pagana al tramonto.*

Ἐν τῷ Ἑλικῶνι - **τέμενος δὲ τῶν Μουσῶν σκιερὸν ὁ χῶρος** - παρὰ τοὺς **Ὀλμειοῦ τοῦ ποταμοῦ** ῥύακας καὶ τὴν Πηγάσου κρήνην Ὀρφέως ἄγαλμα **τοῦ τῆς Καλλιόπης** παρὰ τὰς Μούσας εἱστήκει[1].

**Ἐκόσμει** δὲ αὐτὸν τιάρα Περσικὴ χρυσῷ κατάστικτος, ἀπὸ κορυφῆς εἰς ὕψος ἀνέχουσα· χιτὼν δὲ ἐξ ὤμων ἀπαγόμενος εἰς πόδας τελαμῶνι **χρυσέῳ** κατὰ στέρνων ἐσφίγγετο. Κόμη δὲ οὕτως ἦν εὐανθὴς καὶ ἔμπνουν, **ὡς** ἀπατᾶν τὴν αἴσθησιν, ὅτι καὶ πρὸς τὰς ζεφύρου πνοὰς σειομένη δονεῖται,[2] καὶ πέπλος ἄφετος κατὰ νώτου εἰς σφυρὸν κατῄει.[3] Μετεχειρίζετο[4] δὲ τὴν λύραν · ὁ γὰρ χαλκὸς καὶ νευρὰς ὑπεκρίνετο.

Ὑπὸ δὲ τῶν ποδῶν ἦν πᾶν μὲν τὸ ὀρνίθων γένος πρὸς τὴν ᾠδὴν ἐξιστάμενον, **πάντες δὲ ὄρειοι θῆρες**· καὶ ἵππος ἐθέλγετο ἀντὶ χαλινοῦ τῷ μέλει κρατούμενος καὶ βοῦς **τῆς λυρῳδίας** ἤκουε καὶ λεόντων ἄτεγκτος **φύσις** πρὸς τὴν ἁρμονίαν κατηυνάζετο.

CALLISTRATO, Ἐκφράσεις

[1] 3ª persona sing. ind. piuccheperfetto attivo di ἵστημι: si può tradurre anche con un imperfetto italiano.
[2] Adegua nella traduzione il tempo al contesto.
[3] 3ª persona sing. ind. imperfetto attivo di κάτειμι (composto di εἶμι).
[4] Sottinteso ὁ Ὀρφεύς.

**Questionario**

A. τέμενος δὲ τῶν Μουσῶν σκιερὸν ὁ χῶρος: Che verbo è sottinteso? Scrivilo nella forma corrispondente.
B. Ὀλμειοῦ τοῦ ποταμοῦ: in che posizione è questo complemento? Da che cosa lo capisci?
C. τοῦ τῆς Καλλιόπης: quale sostantivo può essere sottointeso? Scrivilo possibilmente in greco.
D. Ἐκόσμει: scrivi l'intera coniugazione di questo verbo nello stesso tempo, modo e diatesi.
E. χρυσέῳ: Scrivi la forma corrispondente contratta.
F. ὡς: che subordinata introduce, qui?
G. πάντες δὲ ὄρειοι θῆρες: scrivi il verbo sottinteso in greco nel tempo e persona adeguati.
H. τῆς λυρῳδίας: come si spiega l'impiego di questo caso?
I. φύσις: scrivi almeno tre parole italiane derivate dalla radice di questo sostantivo.
J. Illustra in sintesi, sulla base delle tue conoscenze, il personaggio di Orfeo.
K. Che idea vuole esprimere la rappresentazione di animali attorno al mitico cantore?

LICEO CLASSICO
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

## VII edizione

**10 aprile 2015**

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

### II SEZIONE (V Ginnasio)

**Caccia grossa di Commodo al Colosseo**

La Storia dell'impero dopo Marco *di Erodiano, che tratta in 8 libri il periodo che va dal 180, anno della morte di Marco Aurelio, al 238, anno di elezione di Gordiano III, è di primaria importanza sia per lo stato integro dell'opera pervenuta, sia per la posizione di testimone oculare dichiarata dall'autore, un funzionario imperiale, forse di origine siriaca, su cui mancano dati biografici esterni. Fra i passi in cui sembra evidente una testimonianza* de visu *è il pittoresco racconto delle esibizioni venatorie di Commodo.*

Ἐπεὶ δὲ **κατέλαβον** αἱ τῆς θέας ἡμέραι, τὸ μὲν ἀμφιθέατρον πεπλήρωτο,[1] τῷ δὲ Κομμόδῳ περίδρομος κύκλῳ κατεσκεύαστο,[2] ὡς μὴ συστάδην τοῖς θηρίοις μαχόμενος κινδυνεύοι, ἄνωθεν δὲ καὶ ἐξ ἀσφαλοῦς ἀκοντίζων εὐστοχίας μᾶλλον ἢ ἀνδρείας **παρέχοιτο** δεῖξιν. Ἐλάφους μὲν οὖν καὶ δορκάδας, ὅσα τε κερασφόρα πλὴν ταύρων, συνθέων αὐτοῖς καὶ καταδιώκων ἔβαλλε, φθάνων τε αὐτῶν τὸν δρόμον καὶ πληγαῖς καιρίαις ἀναιρῶν· λέοντας δὲ καὶ παρδάλεις, ὅσα τε ζῷα γενναῖα, περιθέων ἄνωθεν κατηκόντιζεν. Οὐδέ τις **εἶδεν** ἀκόντιον δεύτερον οὐδὲ τραῦμα ἄλλο πλὴν τοῦ θανατηφόρου· ἅμα γὰρ τῇ τοῦ ζῴου ὁρμῇ κατὰ τοῦ μετώπου ἢ κατὰ καρδίας ἔφερε τὴν πληγήν, καὶ οὐδέποτε σκοπὸν ἄλλον ἔσχεν οὐδὲ ἐπ' ἄλλο μέρος ἦλθε τὸ ἀκόντιον τοῦ σώματος, ὡς μὴ[3] ἅμα τε **τρῶσαι** καὶ φονεῦσαι. Τὰ δὲ πανταχόθεν ζῷα ἠθροίζετο αὐτῷ. Τότε γοῦν εἴδομεν ὅσα ἐν γραφαῖς ἐθαυμάζομεν· ἀπό τε γὰρ Ἰνδῶν καὶ Αἰθιόπων, εἴ τι πρότερον ἄγνωστον ἦν, μεσημβρίας τε καὶ τῆς ἀρκτῴας γῆς ζῷα πάντα φονεύων Ῥωμαίοις **ἔδειξε**.

ERODIANO, Τῆς μετὰ Μάρκον βασιλείας ἱστορία

[1] 3ª persona sing. ind. piuccheperfetto medio-passivo di πληρόω (= constipatum erat).
[2] 3ª persona sing. ind. piuccheperfetto medio-passivo di κατασκευάζω (= paratus erat).
[3] L'apparente negazione della conseguenza reale si spiega a partire dalla duplice reggente negativa: nella traduzione italiana privilegia liberamente la chiarezza del significato.

**Questionario**

A. κατέλαβον: analizza questa forma verbale.
B. παρέχοιτο: puoi motivare l'impiego di questo modo?
C. εἶδεν: spiega l'origine di questa forma, a partire dal tema verbale.
D. τρῶσαι: analizza questa forma, spiegandone anche l'origine.
E. ἔδειξε: scrivi l'intera coniugazione di questo verbo nello stesso tempo, modo e diatesi.
F. Puoi indicare nel testo un esempio di iperbato o anastrofe?
G. Commenta l'episodio alla luce della personalità e della concezione imperiale di Commodo.

LICEO CLASSICO
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

## VII edizione

**10 aprile 2015**

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

### III SEZIONE (I Liceo Classico)

**Il tempio di Zeus ad Olimpia**

*La* Periegesi della Grecia *di Pausania, una sorta di antenata delle odierne guide turistiche regionali redatta in età antonina, costituisce una fonte imprescindibile per gli archeologi, vista la massa enorme di dati, spesso frutto di conoscenza diretta, che trasmette su edifici ed opere d'arte ancora visibili al suo tempo.*

Πολλὰ μὲν δὴ καὶ ἄλλα[1] **ἴδοι** τις ἂν ἐν Ἕλλησι, τὰ δὲ καὶ **ἀκούσαι** θαύματος ἄξια· μάλιστα δὲ ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ μέτεστιν ἐκ θεοῦ φροντίδος.[2]
Τὸ δὲ ἄλσος τὸ ἱερὸν τοῦ Διὸς Ἄλτιν ἐκ παλαιοῦ καλοῦσι. Ἐποιήθη δὲ ὁ ναὸς καὶ τὸ ἄγαλμα τῷ Διὶ ἀπὸ λαφύρων, ἡνίκα Πίσαν οἱ Ἠλεῖοι, καὶ ὅσον[3] τῶν περιοίκων ἄλλο συναπέστη Πισαίοις, πολέμῳ καθεῖλον. **Φειδίαν δὲ τὸν ἐργασάμενον τὸ ἄγαλμα εἶναι** καὶ ἐπίγραμμά ἐστιν ἐς μαρτυρίαν **ὑπὸ** τοῦ Διὸς γεγραμμένον τοῖς ποσί·

**Φειδίας** Χαρμίδου υἱὸς Ἀθηναῖός μ' ἐποίησε.

Τοῦ ναοῦ δὲ **Δώριος** μέν ἐστιν ἡ **ἐργασία**, **τὰ δὲ ἐκτὸς** περίστυλός ἐστι. Πεποίηται δὲ ἐπιχωρίου πώρου. **Ὕψος** μὲν δὴ εἰσίν οἱ[4] ὀκτὼ πόδες καὶ ἑξήκοντα, **εὖρος** δὲ πέντε καὶ ἐνενήκοντα, **τὰ δὲ ἐς μῆκος** τριάκοντά τε καὶ διακόσιοι· τέκτων δὲ ἐγένετο αὐτοῦ Λίβων ἐπιχώριος. Κέραμος[5] δὲ οὐ γῆς ὀπτῆς ἐστιν, ἀλλὰ κεράμου τρόπον λίθος ὁ Πεντελῆσιν εἰργασμένος.
Ἑστήκασι δὲ καὶ ἐντὸς τοῦ ναοῦ κίονες· καὶ στοαί τε ἔνδον ὑπερῷοι, καὶ πρόσοδος δι' αὐτῶν ἐπὶ τὸ ἄγαλμά ἐστι. Πεποίηται δὲ καὶ **ἄνοδος** ἐπὶ τὸν ὄροφον **σκολιά**.

PAUSANIA, Ἑλλάδος περιήγησις

[1] Spesso in greco ἄλλος esprime alterità rispetto a ciò che segue (qui ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ). Puoi pertanto valutare se e come tradurre καὶ ἄλλα, privilegiando la corretta intelligibilità del testo italiano.
[2] Pausania intende cioè attribuire ad un favore soprannaturale il fatto che l'ἀγών e il santuario successivamente descritto siano particolarmente θαύματος ἄξια.
[3] Neutro collettivo, in realtà da intendere, con tutto ciò che è concordato, come maschile plurale.
[4] E' qui il dativo enclitico del pronome di 3ª persona, frequentemente usato da Pausania (= αὐτῷ).
[5] Ha qui senso collettivo: puoi tradurlo in entrambi i casi al plurale.

**Questionario**

A. ἴδοι: puoi spiegare il valore specifico di tale modo in questo passo e cosa lo determina?
B. ἀκούσαι: analizza questa forma verbale, prestando attenzione all'accento distintivo.
C. Φειδίαν… εἶναι: da quale termine dipende questa dichiarativa implicita?
D. ὑπὸ: che caso e termine regge direttamente qui, in realtà?
E. Φειδίας: delinea in sintesi l'importanza di questa figura nella storia dell'arte greca.
F. Δώριος… ἐργασία: riassumi le caratteristiche architettoniche tipiche di tale ordine.
G. τὰ δὲ ἐκτὸς; Ὕψος; εὖρος; τὰ δὲ ἐς μῆκος: che funzione logica assume qui questo caso?
H. ἄνοδος σκολιά: di che tipo di struttura, ancor oggi comune negli spazi ridotti, si tratta?

# Piccolo Agone Placidiano

## VII edizione

**10 aprile 2015**

LICEO CLASSICO
DANTE ALIGHIERI
RAVENNA

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

### IV SEZIONE (II Liceo Classico)

**Mitilene e le sue glorie**

*Nato ad Amasea sul Mar Nero prima del 60 a. C. ed attivo fino ai primi anni dell'impero di Tiberio, Strabone ha lasciato nei 17 libri dei* Γεωγραφικά *il più corposo trattato di geografia dell'antichità, in cui la descrizione fisica del territorio si accompagna a ricchissime notizie storico-etnografiche, attinte in parte dai propri viaggi, ma soprattutto da autori anteriori, specialmente greci.*

Ἔχει δ᾽ ἡ Μιτυλήνη λιμένας δύο, ὧν ὁ νότιος κλειστὸς τριηρικὸς ναυσὶ πεντήκοντα, ὁ δὲ βόρειος μέγας καὶ βαθύς, χώματι σκεπαζόμενος· πρόκειται δ᾽ ἀμφοῖν νησίον, μέρος τῆς πόλεως ἔχον αὐτόθι συνοικούμενον· **κατεσκεύασται** δὲ τοῖς πᾶσι καλῶς.
Ἄνδρας δ᾽ ἔσχεν ἐνδόξους τὸ παλαιὸν μὲν Πιττακόν, ἕνα τῶν ἑπτὰ σοφῶν, καὶ τὸν ποιητὴν Ἀλκαῖον καὶ τὸν ἀδελφὸν Ἀντιμενίδαν, ὅν φησιν Ἀλκαῖος Βαβυλωνίοις συμμαχοῦντα τελέσαι μέγαν ἆθλον καὶ ἐκ πόνων αὐτοὺς ῥύσασθαι κτείναντα

ἄνδρα **μαχαίταν** βασιληΐων
**παλάσταν** (ὥς φησιν) ἀπολείποντα μόνον μίαν
παχέων ἀπὺ πέμπων.[1]

Συνήκμασε δὲ τούτοις καὶ ἡ Σαπφώ, θαυμαστόν τι χρῆμα· οὐ γὰρ ἴσμεν ἐν τῷ τοσούτῳ χρόνῳ τῷ μνημονευομένῳ **φανεῖσάν** τινα γυναῖκα ἐνάμιλλον, οὐδὲ κατὰ μικρόν, ἐκείνῃ ποιήσεως χάριν. Ἐτυραννήθη δὲ ἡ πόλις κατὰ τοὺς χρόνους τούτους ὑπὸ πλειόνων διὰ τὰς διχοστασίας, καὶ **τὰ στασιωτικὰ καλούμενα τοῦ Ἀλκαίου ποιήματα** περὶ τούτων ἐστίν· ἐν δὲ τοῖς τυράννοις καὶ ὁ **Πιττακὸς** ἐγένετο. Ἀλκαῖος μὲν οὖν ὁμοίως ἐλοιδορεῖτο καὶ τούτῳ καὶ τοῖς ἄλλοις, **Μυρσίλῳ** καὶ **Μελάγχρῳ** καὶ τοῖς Κλεανακτίδαις καὶ ἄλλοις τισίν, **οὐδ᾽ αὐτὸς καθαρεύων τῶν τοιούτων νεωτερισμῶν**. Πιττακὸς δ᾽ εἰς μὲν τὴν τῶν δυναστειῶν κατάλυσιν ἐχρήσατο τῇ μοναρχίᾳ καὶ **αὐτός**, καταλύσας δὲ ἀπέδωκε τὴν αὐτονομίαν τῇ πόλει.

STRABONE, Γεωγραφικά

[1] Alceo fr. 350 V. Puoi ordinare: Ἄνδρα μαχαίταν ἀπολείποντα μόνον μίαν παλάσταν ἀπὺ πέμπων (= πέντε) παχέων (= πήχεων) βασιληΐων. Il cubito regio misurava 53 cm ca.

**Questionario**

A. κατεσκεύασται: analizza questa forma verbale.
B. μαχαίταν; παλάσταν: evidenzia le particolarità dialettologiche comuni ai due termini.
C. φανεῖσάν: che valore ha? Che cosa lo fa capire?
D. τὰ στασιωτικὰ … ποιήματα: di che cosa si tratta?
E. Πιττακὸς… Μυρσίλῳ… Μελάγχρῳ: puoi illustrare l'identità di questi personaggi, citati da Strabone in ordine cronologico inverso.
F. οὐδ᾽ αὐτὸς… νεωτερισμῶν: che aspetto della personalità di Alceo viene messo in rilievo?
G. αὐτὸς: a quale pronome latino può corrispondere qui?